αἴσωπον τίς μοι καλεσάτω. τούτου δὲ ἐλθόντος, λέγει ὁ ξάνθος, λέγε μοι κάθαρμα, διατί τοὺς ἐμοὺς φίλους καὶ φοιτητὰς ἀντὶ τοῦ μετὰ πάσης τιμῆς εἰσαγαγεῖν σε αὐτοὺς ἐν τῷ οἴκῳ μου τοῦ συνευφρανθῆναί μοι ἐξουθενήσας καὶ ὑβρίσας, καὶ ἀτίμους αὐτοὺς ὑπέστρεψας. καὶ ὁ αἴσωπος, δέσποτα, οὐχὶ σύ μοι εἴρηκας μὴ ἐάσῃς τινὶ τῶν ἀνοήτων ἀνδρῶν εἰσελθεῖν ἐν τῷ οἴκῳ μου, εἰ μὴ ῥήτορας καὶ φιλοσόφους. καὶ ὁ ξάνθος ναὶ φησί, καὶ τί μορμολύκιον οὗτοι οὐκ εἰσὶ τῶν σοφῶν. ὁ δὲ αἴσωπος, οὐχὶ, ἀλλὰ καὶ πάνυ ἰδιῶται ὑπάρχουσι. τῷ γὰρ πυλῶνι τῷ σῷ προσκεκρουκότες, ἐμοῦ ἔσωθεν ὄντος, ἐρωτῶν αὐτοὺς τίς ἐστιν ὁ κύων. καὶ οὐδεὶς ἐξ αὐτῶν ἐπέγνω τῷ ῥήματι τούτῳ, τῷ συνεσταθέντι τῷ κυρίῳ αὐτοῦ. καὶ οὕτως τοῦ αἰσώπου ἀπολογουμένου ἔφησαν αὐτῷ ὀρθῶς λέγειν. μεθ' ἡμέρας δὲ τινὰς ὁ ξάνθος ἅμα τῷ αἰσώπῳ ἐπὶ τὰ μνήματα παρ-